× TLG - Browser × +
anus.tlg.uci.edu/Iris/indiv/browser.jsp#doc=tlg&aid=3202&wid=005&q=Georgius%20GEMISTUS&st=0&links=tlg&l=30
artimento di St... YouTube Google Maps Wikipedia Amministrato - No... Ricerca avanzata ... Dictionary.com | ... MIUR - docente



**Georgius GEMISTUS, *Adnotationes e Diodoro.* {3202.005}**

## ΕΚ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΠΑΡΑΣΗΜΕΙΩΣΕΙΣ

**(1)** Περὶ τὴν ἕκτην καὶ ἑκατοστὴν ὀλυμπιάδα Ἀλέξανδρος ὁ Φεραίων τύραννος ὑπὸ γυναικὸς τῆς ἑαυτοῦ Θήβης καὶ τῶν ταύτης ἀδελφῶν Λυκόφρονος καὶ Τισιφόνου ἀνῃρέθη· οἳ τὰ μὲν πρῶτα εὐδοκίμουν παρὰ τοῖς Θετταλοῖς, ἅτε δὴ τυραννοκτόνοι, μετὰ δὲ ταῦτα, τοὺς Ἀλεξάνδρου δορυφόρους ἑαυτοῖς συστησάμενοι, τυράννους τὲ ἑαυτοὺς ἀνέδειξαν καὶ πολλοὺς τῶν σφίσιν ἀντιπραττόντων ἀνῄρουν. οἱ δ' Ἀλευάδαι καλούμενοι, ἀξίωμα ἔχοντες ἐν τοῖς Θετταλοῖς δι' εὐγένειαν, Φίλιππον τὸν Μακεδόνων βασιλέα ἐπαγαγόμενοι, κατεπολέμησάν τε τοὺς τυράννους καὶ τὴν ἐλευθερίαν ταῖς πόλεσιν ἀποκατέστησαν. ἀφ' οὗ καὶ Φίλιππος τοὺς Θετταλοὺς πρώτους Ἑλλήνων ἐς εὔνοιαν ἑαυτῷ προσέλαβε. @1

**(2)** Μετ' οὐ πολὺ δὲ τῆς Ἀλεξάνδρου ἀναιρέσεως καὶ ὁ ἱερὸς κληθεὶς ἐν τῇ Ἑλλάδι συνέστη πόλεμος. συνέστη δὲ Φωκέων κατειληφότων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς διὰ Φιλομήλου, ὃς στρατηγὸς σφίσιν ἐψήφιστο αὐτοκράτωρ, καὶ καταλαβὼν τὸ ἱερὸν Δελφῶν τε ἀπεκτονὼς τοὺς ἀντιστάντας, ἔχων στρατιώτας Φωκέων τὲ αὐτῶν μοῖραν καὶ ξένους μισθοφόρους, τοῦ ἱεροῦ ἐκράτει. πρὸς ὃ κινηθέντες Λοκρῶν πρῶτον οἱ πλησιόχωροι, ἔπειτα καὶ Θηβαῖοι—οἳ καὶ μάλιστα προύστησαν τοῦ πολέμου τούτου—ἐπολέμουν Φωκεῦσι, συλλαμβανόντων τοῦ πολέμου αὐτοῖς μὲν Θηβαίοις Λοκρῶν ἀμφοτέρων καὶ Δωριέων καὶ Ἐνιάνων καὶ Ἀθαμάνων καὶ Δολόπων καὶ Θετταλῶν τῶν πλείστων, τοῖς δὲ Φωκεῦσι Λακεδαιμονίων τὲ καὶ Ἀχαιῶν τῶν ἐν Πελοποννήσῳ καὶ Ἀθηναίων. Φιλόμηλος μὲν οὖν τὰ μὲν πρῶτα ἐκράτει τῷ πολέμῳ, ὕστερον δὲ Θηβαίων φιλοτιμότερον πρὸς αὐτὸν ἠγωνισμένων ἡττήθη τὲ καὶ περισχόντων αὐτὸν τῶν πολεμίων ἔν τινι ἀποκρήμνῳ χωρίῳ, ἵνα μὴ ζωγρίᾳ ἁλῷ, κατεκρήμνισεν αὑτὸν, ὁ δὲ τὰ δευτερεῖα τῆς στρατηγίας ἔχων Ὀνόμαρχος, τὴν ἡγεμονίαν διαδεδεγμένος, ἀνελάμβανε τοὺς ἀπὸ τῆς τροπῆς.

**(3)** Ἅμα δὲ τούτοις πραττομένοις καὶ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς Μεθώνην μὲν ἐκπολιορκήσας καὶ διαρπάσας κατέσκαψε, Παγασὰς δ' ἑλὼν ὑπήκοον ἑαυτῷ τὴν πόλιν κατεῖχε. Φωκεῦσι δὲ βουλευομένοις μετὰ τῶν συμμάχων περὶ τοῦ πολέμου ἔδοξε μὴ μεθιέναι τὸ ἱερὸν, καὶ

**Cite this Work**

E.V. Maltese, ***Georgii Gemisti Plethonis Opuscula de Historia Graeca***, **Leipzig: Teubner, 1989: 1-41.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3202:005:0

BROWSER
Georgius GEMISTUS
Lines: 30
Display: Greek
Links: Active
Search this text Text Structure
Links: Morphology/Lexica || N-Grams Select || Statistics A | A | A
Section 4 line 1 GO
Prev | Next

**Georgius GEMISTUS, *Adnotationes e Diodoro*. {3202.005}**

μετὰ τῶν συμμάχων περὶ τοῦ πολέμου ἔδοξε μὴ μεθιέναι τὸ ἱερὸν, καὶ δὴ Ὀνόμαρχον στρατηγὸν αὐτοκράτορα ἑλόμενοι εἴχοντο τοῦ πολέμου. Φιλόμηλος μὲν οὖν τῶν ἱερῶν χρημάτων οὐχ ἥψατο, ἀλλὰ τοὺς Δελφοὺς μόνον χρήματα ἐς τὸν πόλεμον ἐπράξατο. οὗτος δ' Ὀνόμαρχος, τοῖς ἱεροῖς χρήμασι χρησάμενος, μισθοφόρων τὲ ἤθροισε πλῆθος πολὺ, ὑπερβάλλων τὴν ἐπὶ Φιλομήλου στρατιὰν, καὶ διαφθείρων δώροις τοὺς τῶν πόλεων καὶ ἐθνῶν προεστῶτας, τοὺς μὲν ἔπειθε συλλαμβάνειν ἑαυτῷ, τούς δ' ἡσυχίαν ἄγειν· Θετταλοὺς γοῦν, τῶν Θηβαίοις συμμαχούντων τοὺς ἀξιολογωτάτους, ἔπεισε τέως ἡσυχίαν ἄγειν. ἀνῄρει δὲ καὶ Φωκέων τοὺς ἐναντιουμένους συλλαμβάνων τάς τε οὐσίας ἐδήμευεν. ἐς δὲ τὴν πολεμίαν ἐμβαλὼν Θρόνιον μὲν τῆς Ὀπουντίας Λοκρίδος ἐκπολιορκήσας ἐξηνδραποδίσατο, Ἀμφισσέας δὲ τῆς ἑτέρας Λοκρίδος καταπληξάμενος ὑπέταξεν ἑαυτῷ· εἷλε δὲ καὶ Ὀρχομενὸν τῆς Βοιωτίας. Χαιρώνειαν δὲ πολιορκῶν, ἐπιβοηθησάντων τῶν Θηβαίων, ἄπρακτος ἐπανῆλθεν ἐς τὴν οἰκείαν. @1

(4) Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Ἀργείοις πρὸς Λακεδαιμονίους συνέστη πόλεμος, καὶ γενομένης μάχης περὶ πόλιν Ὀρνεὰς ἐνίκων Λακεδαιμόνιοι, καὶ τὰς Ὀρνεὰς ἐκπολιορκήσαντες ἐπανῆλθον οἴκαδε. Χάρης δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς εἰσπλεύσας ἐς Ἑλλήσποντον καὶ Σηστὸν πόλιν ἑλὼν τοὺς μὲν ἡβῶντας ἀπέσφαξε, τοὺς δ' ἄλλους ἐξηνδραποδίσατο. Κερσοβλέπτου δὲ τοῦ Κότυος διὰ τὴν πρὸς μὲν Φίλιππον ἀλλοτριότητα, πρὸς δ' Ἀθηναίους φιλίαν ἐγχειρίσαντος Ἀθηναίοις τὰς ἐν Χερρονήσῳ πόλεις πλὴν Καρδίας, ἀπέστειλεν ὁ δῆμος κληρούχους ἐς τὰς πόλεις. μετὰ δὲ ταῦτα Λυκόφρονος τοῦ Φερῶν τυράννου ὑπό τε Θετταλῶν καὶ Φιλίππου πολεμουμένου καὶ, ἐπειδὴ ἡττᾶτο τῷ πολέμῳ, βοήθειαν παρὰ Φωκέων μεταπεμψαμένου, ἧκε Φάυλος ὁ Ὀνομάρχου ἀδελφὸς μετὰ στρατιωτῶν ἑπτακισχιλίων, οὕσπερ Φίλιππος μάχῃ νικήσας ἀπήλασεν ἐκ τῆς Θετταλίας.

(5) Μετὰ δὲ τοῦτο Ὀνόμαρχος μετὰ πόσης τῆς δυνάμεως ἀφικόμενος ἐπὶ τὴν τοῦ τυράννου βοήθειαν, καὶ Φίλιππον καὶ Θετταλοὺς δυσὶ νικήσας μάχαις, ἐξέβαλε Φίλιππον ἐκ τῆς Θετταλίας· στρατεύσας δὲ καὶ ἐς

## Cite this Work

E.V. Maltese, *Georgii Gemisti Plethonis Opuscula de Historia Graeca*, Leipzig: Teubner, 1989: 1-41.
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3202:005:2355

## Translation

## Morphological Analysis and Lexica

## N-grams

## Statistics

TLG - Browser
anus.tlg.uci.edu/Iris/indiv/browser.jsp#doc=tlg&aid=3202&wid=005&st=32542&pp=end&td=greek&l=30&links=tlg
artimento di St... YouTube Google Maps Wikipedia Amministrato - No... Ricerca avanzata ... Dictionary.com | ... MIUR - docente



**Georgius GEMISTUS, *Adnotationes e Diodoro*. {3202.005}**

ἐν ᾗ Ἀρχίδαμος ἐτελεύτησε, γενέσθαι.

(21) Μετὰ δὲ ταῦτα Φίλιππος ἐν Κορίνθῳ κοινὸν τῶν Ἑλλήνων συνέδριον συγκαλέσας, ᾔτει παρ' αὐτῶν συμμαχίαν ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον ὡς δίκην ληψομένων παρ' αὐτῶν ὑπὲρ τῆς ἐς τὰ ἱερὰ γενομένης παρανομίας. τῶν δ' Ἑλλήνων στρατηγὸν αὐτοκράτορα τῆς Ἑλλάδος ἑλομένων, διατάξας ἑκάστῃ πόλει τὸ πλῆθος τῶν ἐς τὴν συμμαχίαν στρατιωτῶν @1 ἐπανῆλθεν ἐς τὴν Μακεδονίαν. ἤδη δ' ὀλυμπιὰς μὲν ἤγετο ἑνδεκάτη καὶ ἑκατοστή. Φίλιππος δὲ πάσῃ σπουδῇ ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον παρεσκευάζετο. Ἄτταλον μὲν οὖν καὶ Παρμενίωνα, μέρος τῆς δυνάμεως διδοὺς, προαπέστελλεν ἐς τὴν Ἀσίαν τὰς ἐκεῖ Ἑλληνίδας πόλεις ἐλευθερώσοντας. αὐτὸς δ' ἐν Αἰγαῖς τῆς Μακεδονίας ἅμα μὲν τῆς ἐξ Ὀλυμπιάδος θυγατρὸς ἑαυτοῦ Κλεοπάτρας ἐτέλει γάμους, Ἀλεξάνδρῳ αὐτὴν τῷ Μολοττῶν βασιλεῖ ἐκδιδοὺς, ἅμα δὲ τοῖς θεοῖς θυσίας ἔθυε πολυτελεῖς ὑπὲρ τῆς ἐς Ἀσίαν διαβάσεως. οὗτος Ἀλέξανδρος ἐν τοῖς ἀρίστοις τῶν καθ' ἑαυτὸν βασιλέων γεγονὼς τά τε ἄλλα καὶ τὰ πολέμεια, διαβὰς ἐς Ἰταλίαν Ταραντίνοις βοηθῶν, καὶ ἄριστα τοῖς ἐκεῖ πράγμασι χρησάμενος, ἔν τινι μάχῃ καλῶς ἠγωνισμένος ἐτελεύτησεν, ὥσπερ καὶ Ἀρχίδαμος πρὸ αὐτοῦ. Ὀλυμπιάδος δ' ἦν ἀδελφὸς ὁ Ἀλέξανδρος καὶ ἐγάμει τότε τὴν ἀδελφιδῆν Κλεοπάτραν.

(22) Φιλίππῳ μέντοι τούς τε γάμους τελοῦντι τούτους καὶ ὑπὲρ τῆς ἐς Ἀσίαν ἅμα διαβάσεως θύοντι καὶ ἑορτάζοντι λαμπρῶς—καὶ γὰρ καὶ ὡς πλείστους ἦν συγκεκληκὼς τῶν τε ἄλλων καὶ τῶν ἀπὸ τῆς Ἑλλάδος φίλων—ἀπροσδόκητός τις ἐπῆλθε τελευτή. ἔσχε δὲ τὸ πρᾶγμα ὧδε. Παυσανίας τις ἦν, τὸ μὲν γένος Μακεδὼν ἐξ Ὀρεστίδος τῆς Μακεδονίας, τοῦ δὲ βασιλέως σωματοφύλαξ, καὶ διὰ κάλλος φίλος Φιλίππῳ γεγονώς. οὗτος ὁρῶν ἕτερον ἑαυτῷ ὁμώνυμον Παυσανίαν ὑπὸ τοῦ βασιλέως ἀγαπώμενον, φθονήσας ἐλοιδόρησεν, ἀνδρόγυνον ἀποκαλέσας. ὁ δ' Ἀττάλῳ τὸ λοιδόρημα ἔφρασε φίλῳ ὄντι, καὶ μετ' οὐ πολὺ, Φιλίππου πρὸς Πλευρίαν τὸν Ἰλλυριῶν βασιλέα διαγωνιζομένου, ὁ Παυσανίας οὗτος δὴ ὁ λοιδορηθεὶς πρὸ τοῦ βασιλέως τάξας ἑαυτὸν καὶ λαμπρῶς ἠγωνισμένος ἐτελεύτησεν. Ἀττάλῳ δὲ περιαλγεῖ γενομένῳ καὶ πρότερον ἐπὶ τῇ



## Cite this Work

**E.V. Maltese, *Georgii Gemisti Plethonis Opuscula de Historia Graeca*, Leipzig: Teubner, 1989: 1-41.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3202:005:30203

Translation

Morphological Analysis and Lexica

N-grams

Statistics

TLG - Browser

anus.tlg.uci.edu/Iris/indiv/browser.jsp#doc=tlg&aid=3202&wid=005&ct=~y23z1&rt=y&l=30&td=greek&links=tlg

artimento di St... YouTube Google Maps Wikipedia Amministrato - No... Ricerca avanzata ... Dictionary.com | ... MIUR - docente



## BROWSER

Georgius GEMISTUS

Lines: 30
Display: Greek
Links: Active

Search this text Text Structure Links: Morphology/Lexica || N-Grams Select || Statistics A | A | A

Section 23 line 1 GO
Prev | Next

**Georgius GEMISTUS, *Adnotationes e Diodoro*. {3202.005}**

ἐτελεύτησεν. Ἀττάλῳ δὲ περιαλγεῖ γενομένῳ καὶ πρότερον ἐπὶ τῇ λοιδορίᾳ τῇ τοῦ φίλου καὶ ὕστερον ἐπὶ τῇ τελευτῇ ἔδοξε δίκην παρὰ τοῦ λοιδορήσαντος λαβεῖν. καὶ δὴ καλέσας ἐπὶ πότον καὶ ἀκράτου πολλοῦ ἐμφορήσας, τοῖς ὀρεοκόμοις τὸ σῶμα παρέδωκεν ἐς ὕβριν. ὃ δ' ἐκνήψας καὶ τῆς γε ὕβρεως αἰσθόμενος Ἀττάλου κατηγόρησεν ἐπὶ τοῦ βασιλέως· ὄντος δ' Ἀττάλου ἅμα μὲν τῆς ἐπιγαμηθείσης Φιλίππῳ γυναικὸς Κλεοπάτρας ἀδελφιδοῦ, ἅμα δὲ γενναίου τὰ πολέμεια—δι' ἃ καὶ ἐς τὴν Ἀσίαν προαπέστελλεν αὐτὸν—, οὐδὲν τῶν δικαίων ἐποίει Παυσανίᾳ ὁ βασιλεύς, ἀλλ' ἄλλως ἐπειρᾶτο παραμυθεῖσθαι, τιμῶν καὶ δωρούμενος. ὃ δ' οὐδὲν τούτοις ἐπραΰνετο, ἀλλ' οὐχ ἧττον τῷ μὴ τιμωροῦντι ἢ τῷ ὑβρίσαντι ὀργιζόμενος, ἐπειδὴ καιροῦ, ὥς οἱ ἔδοξεν, ἐλάβετο, κτείνει Φίλιππον. Φίλιππος μὲν γὰρ ἔτυχεν ἐστεφανωμένος πομπεύων ἐν λευ- @1 κῷ ἱματίῳ οὐ δορυφορούμενος· Παυσανίας δ' ἰδὼν οὐ δορυφορούμενον, ἀλλὰ πόρρωθεν τοὺς σωματοφύλακας ἑπομένους, προσπεσὼν, ἔχων κεκρυμμένον Κελτικὸν ξίφος, κεντεῖ καιρίαν διὰ τῆς πλευρᾶς. καὶ ὁ μὲν ἔκειτο νεκρὸς· ὃ δ' ἔθεεν ἐπὶ τὸν ἑαυτῷ που παρεσκευασμένον ἵππον, καὶ ἔφθασεν ἂν ἐπὶ τὸν ἵππον ἀναβὰς, εἰ μὴ ἀμπέλῳ τοῦ ποδὸς προσκεκοφότος κατέπεσε. καὶ ἀνισταμένῳ οἱ ἐπιδιώκοντες ἐπιπεσόντες καὶ κατακεντήσαντες ἀνεῖλον· Ἄτταλος δ' ἦν καὶ Περδίκκας καὶ Λεοννάτος οἱ ἐπιδιώξαντες.

(23) Αὕτη ἡ τελευτὴ Φιλίππῳ ἐγένετο. καὶ τοῦτ' ἴσως ἐσήμαινε καὶ τὸ λόγιον, ὃ αὐτῷ ἐκ Δελφῶν ἀσαφὲς τέως ἐχρήσθη χρωμένῳ·

ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος· ἔστι δ' ὁ θύσων·

ἴσως γὰρ ἐσήμαινε τὸν Φίλιππον ἐν ἑορτῇ καὶ θυσίαις θεῶν ἐστεφανωμένον δίκην ἱερείου τυθήσεσθαι. καὶ ἕτερον δὲ τούτου πρότερον τοῖς Ἕλλησι λόγιον ἐκ Δελφῶν ἐχρήσθη·

τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμαν
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι·
κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.

Θερμώδοντα μὲν γὰρ τὸν παρὰ Χαιρωνείᾳ εἶναι ποταμόν, Φίλιππον δὲ τὴν μάχην ἐκείνην νενικηκότα καὶ ἔπειτ' οὐ πολὺν χρόνον ἐπιβεβιωκότα ἀποθανεῖν. @1

Prev | Next

## Cite this Work

**E.V. Maltese, *Georgii Gemisti Plethonis Opuscula de Historia Graeca*, Leipzig: Teubner, 1989: 1-41.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?3202:005:32542

## Translation

## Morphological Analysis and Lexica

## N-grams

## Statistics